9 πραττομένων, φύσει πρᾶος ὤν· ὥς που καὶ λέγεται συμβασιλεύοντα τὸν Ἀρχέλαον αὐτῷ πρὸς τοὺς ἐγκωμιάζοντας τὸν νεανίσκον εἰπεῖν, „πῶς δ' ἂν [οὐκ] εἴη Χαρίλαος ἀνὴρ ἀγαθὸς ὃς οὐδὲ τοῖς πονηροῖς χαλεπός ἐστι;"

10 Πλειόνων δὲ καινοτομουμένων ὑπὸ τοῦ Λυκούργου
πρῶτον ἦν καὶ μέγιστον ἡ κατάστασις τῶν γερόντων,
ἥν φησιν ὁ Πλάτων (leg. 3, 691e) τῇ τῶν βασιλέων ἀρχῇ
e φλεγμαινούσῃ μειχθεῖσαν καὶ γενομένην ἰσόψηφον εἰς τὰ
μέγιστα, σωτηρίαν ἅμα καὶ σωφροσύνην παρασχεῖν. 9
11 αἰωρουμένη γὰρ ἡ πολιτεία καὶ ἀποκλίνουσα νῦν μὲν 84 S
ὡς τοὺς βασιλεῖς ἐπὶ τυραννίδα, νῦν δ' ὡς τὸ πλῆθος
ἐπὶ δημοκρατίαν, οἷον ἕρμα τὴν τῶν γερόντων ἀρχὴν
ἐν μέσῳ θεμένη καὶ ἰσορροπήσασα, τὴν ἀσφαλεστάτην 9 Z¹
τάξιν ἔσχε καὶ κατάστασιν, ἀεὶ τῶν ὀκτὼ καὶ εἴκοσι γερόντων τοῖς μὲν βασιλεῦσι προστιθεμένων ὅσον ἀντιβῆναι πρὸς δημοκρατίαν, αὖθις δ' ὑπὲρ τοῦ μὴ γενέσθαι τυραννίδα τὸν δῆμον ἀναρρωννύντων.
12 τοσούτους δέ φησι κατασταθῆναι τοὺς γέροντας Ἀριστοτέλης
f (fr. 537), ὅτι τριάκοντα τῶν πρώτων μετὰ Λυκούργου γενομένων, δύο τὴν πρᾶξιν ἐγκατέλιπον ἀποδειλιάσαντες· ὁ δὲ Σφαῖρος (SVF 1, 142) ἐξ ἀρχῆς φησι τοσούτους γενέσθαι τοὺς τῆς γνώμης μετασχόντας.
13 εἴη δ' ἄν τι καὶ τὸ τοῦ ἀριθμοῦ, δι' ἑβδομάδος τετράδι πολλαπλασιασθείσης ἀποτελουμένου, καὶ ὅτι τοῖς αὐτοῦ μέρεσιν ἴσος ὢν μετὰ τὴν ἑξάδα τέλειός ἐστιν.
14 ἐμοὶ δὲ δοκεῖ μάλιστα τοσούτους ἀποδεῖξαι τοὺς γέροντας, ὅπως οἱ
43 πάντες εἶεν τριάκοντα, τοῖς ὀκτὼ καὶ εἴκοσι τοῖν δυοῖν βασιλέοιν προστιθεμένοιν.

**6.** Οὕτω δὲ περὶ ταύτην ἐσπούδασε τὴν ἀρχὴν ὁ Λυ-

1 mor. 55e 218b 537d cf. 223e 452d || 5 Herod. 1, 65 Isocr. Panath. 153sq. Aristot. pol. 2, 6 p. 1265b 36sqq. 2, 9 p. 1270b 13sqq. 4, 7 p. 1293b 16. 4, 9 p. 1294b 13sqq. Polyb. 6, 10, 2sqq. Cic. rep. 2, 15. 42 || 22 cf. Keßler l. c. p. 32

[**GLZ** (= **HJM**)] **3** del. Gataker cl. mor. || **12** ἕρμα Casaubonus: ἔρυμα || **24** ἀποτελούμενον: em. Latte





κοῦργος, ὥστε μαντείαν ἐκ Δελφῶν κομίσαι περὶ αὐτῆς, ἣν ῥήτραν καλοῦσιν. ἔχει δ' οὕτως· „Διὸς Σκυλλανίου 2
καὶ Ἀθανᾶς Σκυλλανίας ἱερὸν ἱδρυσάμενον, φυλὰς φυλάξαντα καὶ ὠβὰς ὠβάξαντα τριάκοντα γερουσίαν σὺν ἀρχαγέταις καταστήσαντα ὥραις ἐξ ὡρᾶν ἀπελλάζειν
κράτος: Hdt III. 81. 1, 3, μεταξὺ Βαβύκας τε καὶ Κνακιῶνος, οὕτως εἰσφέρειν τε
καὶ ἀφίστασθαι· †γαμωδανγοριανημην καὶ κράτος." ἐν 3
10 Z¹ τούτοις τὸ μὲν φυλὰς φυλάξαι καὶ ὠβὰς ὠβάξαι διελεῖν
ἐστι καὶ κατανεῖμαι τὸ πλῆθος εἰς μερίδας, ὧν τὰς μὲν b
φυλάς, τὰς δ' ὠβὰς προσηγόρευκεν. ἀρχαγέται δ' οἱ βασιλεῖς λέγονται, τὸ δ' ἀπελλάζειν ἐκκλησιάζειν, ὅτι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν τῆς πολιτείας εἰς τὸν Πύθιον
85 S ἀνῆψε. τὴν δὲ Βαβύκαν . . . καὶ τὸν Κνακιῶνα νῦν 4
Οἰνοῦντα προσαγορεύουσιν· Ἀριστοτέλης δὲ (fr. 536) τὸν μὲν Κνακιῶνα ποταμόν, τὴν δὲ Βαβύκαν γέφυραν. ἐν μέσῳ δὲ τούτων τὰς ἐκκλησίας ἦγον, οὔτε παστάδων

2 cf. Ziegler l. c. p. 23 M. Treu, Herm. 76, 22 v. Blumenthal, Herm. 77, 212 Wade-Gery, Class. Quart. 37, 62; 38, 1 Flacelière l. c. 397 Chrimes, Ancient Sparta, Manch. Univ. Press 1949 Hammond, Journ. hell. stud. 70, 42sq. H. Michell, Sparte et les Spartiates, Paris 1953 Tsopanakis, La rhètre de Lycurgue, Hellenika parart. 6 (Thessalonike 1954)

[**GLZ** (= **HJM**)] **2. 3** Σκυλλανίου et -ας Meineke ad Steph. Byz. s. v. Σκύλλιον cl. Hesych. Σκυλλανίς· ἡ πολεμική (Σκυλλανίδος pro -νίας v. Blumenthal): συλλ- codd. Ἑλλανίου et Ἑλλανίας Br. Σκυλλαίου et -ας Goettling || **3** Ἀθανᾶς Va.: ἀθηνᾶς | ἱδρυσάμενος: em. Br. || **4** ante Sint. distinguebant ante τριάκοντα || **5** ὥραις ἐξ ὡρᾶν Wil., Isyllos p. 11: ὥρας ἐξ ὥρας | ἀπελλάζοντα Sint. || **6** κνακίωνος: em. Sauppe (et infra) | ⟨καὶ⟩ οὕτως Sch. αὐτὼς Sauppe καὶ τὼς C. F. Hermann || **7** γαμωδᾶν γορίαν ἦ μὴν G γαμωδᾶν γοριᾶν ἦ μην L γαμωδᾶν γοριανίμην Z δάμῳ δ' ἀνωγὰν εἶμεν Anon. δάμῳ δ' ἂν ἀγορᾶν ἦμεν (et τὸ pro καὶ) Dacier δάμῳ δ' ἀγορίαν ἦμεν Rei. δάμῳ δ' ἀγορὰν ἦμεν vel δ. δὲ κυρείαν εἶμεν Cor. δ. δὲ τὰν κυρίαν ἦμεν Sint. cum O. Muellero δάμῳ δ' ἀναγορίαν C. F. Hermann δαμοτᾶν τὸ αἱρεῖν (vel τὸ κρίνειν) ἦμεν [καὶ κράτος] Zie. cl. p. 10, 24 et 10, 9. 13 δαμωδᾶν ἀναγορίαν ἦμεν Kirsten δάμῳ δ' ἀνταγορίαν ἦμεν Treu Flac. δαμώδων ἀνταγορίαν ἦμεν Wade-Gery δαμώδων γορίαν ἦμεν v. Blumenthal δαμοτᾶν ἀγορὰν ἦμεν Hammond γαιάδαν ἰθεῖαν ἱέμεν κὰκ κράτος Tsopanakis || **8** διελεῖν Anon.: διέχειν || **13** καὶ τὴν δὲ L¹ | lac. stat. Curtius

5 οὐσῶν οὔτ' ἄλλης τινὸς κατασκευῆς. οὐθὲν γὰρ ᾤετο
ταῦτα πρὸς εὐβουλίαν εἶναι, μᾶλλον δὲ βλάπτειν, φλυα-
ρώδεις ἀπεργαζόμενα καὶ χαύνους φρονήματι κενῷ τὰς
c διανοίας τῶν συμπορευομένων, ὅταν εἰς ἀγάλματα καὶ
γραφὰς ἢ προσκήνια θεάτρων ἢ στέγας βουλευτηρίων
6 ἠσκημένας περιττῶς ἐκκλησιάζοντες ἀποβλέπωσι. τοῦ δὲ
πλήθους ἀθροισθέντος, εἰπεῖν μὲν οὐδενὶ γνώμην τῶν
ἄλλων ἐφεῖτο, τὴν δ' ὑπὸ τῶν γερόντων καὶ τῶν βασι-
7 λέων προτεθεῖσαν ἐπικρῖναι κύριος ἦν ὁ δῆμος. ὕστερον
μέντοι τῶν πολλῶν ἀφαιρέσει καὶ προσθέσει τὰς γνώ-
μας διαστρεφόντων καὶ παραβιαζομένων, Πολύδωρος καὶ
Θεόπομπος οἱ βασιλεῖς τάδε τῇ ῥήτρᾳ παρενέγραψαν·
8 ,,αἰ δὲ σκολιὰν ὁ δᾶμος αἱροῖτο, τοὺς πρεσβυγενέας καὶ
ἀρχαγέτας ἀποστατῆρας ἦμεν'', τοῦτ' ἔστι μὴ κυροῦν,
d ἀλλ' ὅλως ἀφίστασθαι καὶ διαλύειν τὸν δῆμον, ὡς ἐκ- 11 $Z^1$
τρέποντα καὶ μεταποιοῦντα τὴν γνώμην παρὰ τὸ βέλτι-
9 στον. ἔπεισαν δὲ καὶ αὐτοὶ τὴν πόλιν, ὡς τοῦ θεοῦ ταῦτα
προστάσσοντος, ὥς που Τυρταῖος ἐπιμέμνηται διὰ τούτων
(PLG $II^4$ 9 = 3 b Diehl)·

10 Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ' ἔνεικαν
  μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα·
ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
  οἷσι μέλει Σπάρτας ἱμερόεσσα πόλις,
πρεσβύτας τε γέροντας, ἔπειτα δὲ δημότας ἄνδρας,
  εὐθείαις ῥήτραις ἀνταπαμειβομένους.

**7.** Οὕτω τὸ πολίτευμα τοῦ Λυκούργου μείξαντος,
e ὅμως ἄκρατον ἔτι τὴν ὀλιγαρχίαν καὶ ἰσχυρὰν οἱ μετ'

26 Plut. Ag. et Cleom. 31, 2 Arist. pol. 5, 11 p. 1313a 25 (cf. Herod. 1, 65 Xen. rep. Lac. 8, 3 Strab. 10, 482 Diog. Laert. 1, 68 Iustin. 3, 3, 2 Val. Max. 4, 1, ext. 8)

[GLZ (= HJM)] 1 οὐθὲν] ὅθεν L || 4 καὶ om. Z || 8 ἐφεῖτο Br.: ὑφεῖτο || 11 διαστραφέντων Z || 13 αἱ] ἃ L | αἱροῖτο Rei.: ἔροιτο (ἕλοιτο Cor. Sint. αἱρέοιτο Wil., Textgesch. d. gr. Lyr. 107, 5 σκολιᾶν ἐρέοιτο v. Blumenthal) || 14 ἦμεν Bekker: εἶμεν | μὴ κυροῦν] μικροῦν Z || 20 οἴκαδ' ἔνεικαν Am.: οἱ τάδε νικᾶν || 22 βουλῆς] τιμῆς Z || 27 ἰσχυρὰν ⟨οὖσαν⟩ Rei.





αὐτὸν ὁρῶντες σπαργῶσαν καὶ θυμουμένην, ὥς φησιν
ὁ Πλάτων (leg. 3, 692 a), οἷον ψάλιον ἐμβάλλουσιν αὐτῇ
86 S τὴν τῶν ἐφόρων δύναμιν, ἔτεσί που μάλιστα τριάκοντα
καὶ ἑκατὸν μετὰ Λυκοῦργον πρώτων τῶν περὶ Ἔλατον
ἐφόρων κατασταθέντων ἐπὶ Θεοπόμπου βασιλεύοντος·
ὅν καί φασιν ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς ὀνειδιζόμενον, 2
ὡς ἐλάττω παραδώσοντα τοῖς παισὶ τὴν βασιλείαν ἢ
παρέλαβε, ,,μείζω μὲν οὖν'' εἰπεῖν ,,ὅσῳ χρονιωτέραν''.
τῷ γὰρ ὄντι τὸ ἄγαν ἀποβαλοῦσα, μετὰ τοῦ φθόνου 3
διέφυγε τὸν κίνδυνον, ὥστε μὴ παθεῖν ἃ Μεσσήνιοι καὶ
Ἀργεῖοι τοὺς παρ' αὐτοῖς βασιλεῖς ἔδρασαν, μηδὲν ἐν- f
12 $Z^1$ δοῦναι μηδὲ χαλάσαι τῆς ἐξουσίας ἐπὶ τὸ δημοτικὸν
ἐθελήσαντας. ὃ καὶ μάλιστα τὴν Λυκούργου σοφίαν καὶ 4
πρόνοιαν ἐποίησε φανερὰν εἰς τὰς Μεσσηνίων καὶ Ἀρ-
γείων, συγγενῶν καὶ γειτόνων, δήμων καὶ βασιλέων
στάσεις καὶ κακοπολιτείας ἀφορῶσιν, οἳ τῶν ἴσων ἀπ' 5
ἀρχῆς τετυχηκότες, ἐν δὲ τῷ κλήρῳ καὶ πλέον ἔχειν
ἐκείνων δόξαντες, οὐκ ἐπὶ πολὺν χρόνον εὐδαιμόνησαν,
ἀλλ' ὕβρει μὲν τῶν βασιλέων, [οὐκ] ἀπειθείᾳ δὲ τῶν
ὄχλων, τὰ καθεστῶτα συνταράξαντες, ἔδειξαν ὅτι θεῖον **44**
ἦν ὡς ἀληθῶς εὐτύχημα τοῖς Σπαρτιάταις ὁ τὴν πολι-
τείαν ἁρμοσάμενος καὶ κεράσας παρ' αὐτοῖς. ταῦτα μὲν
οὖν ὕστερον.
**8.** Δεύτερον δὲ τῶν Λυκούργου πολιτευμάτων καὶ
νεανικώτατον ὁ τῆς γῆς ἀναδασμός ἐστι. δεινῆς γὰρ 2
οὔσης ἀνωμαλίας, καὶ πολλῶν ἀκτημόνων καὶ ἀπόρων

6 Plut. mor. 779e || 10 Plat. leg. 3, 690d sq. || 24 Plat. leg. 3, 684d sq. Isocr. Archid. 20 Panath. 177 sqq. Polyb. 6, 48, 2 sq. Aristot. pol. 2, 9 p. 1271a 29. 5, 11 p. 1313a 25 sq. Heraclid. exc. pol. 12 Dilts Dio Chr. or. 56, 5 sq. Iustin. 3, 3, 3 cf. FGrH 596 F 15

[GLZ(= HJM)] 1 ⟨καὶ⟩ σπαργῶσαν Cor. || 2 ψέλλιον αὐτῇ ἐμβάλλουσι Z || 4 πρῶτον: em. Rei. || 7 παραδώσαντα $L^1$ | ἢ] ἧς mor. || 8 ὅσῳ καὶ βεβαιοτέραν mor. (*diuturniorem* Val. Max.) || 10 μεσήνιοι Z constanter || 13 ἐθελήσαντος G || 19 ἀπειθείᾳ Herw.: οὐκ εὐπειθείᾳ || 21—22 ἀληθῶς — καὶ om. Z